(167) Plat. de legg. II, p. 659 οὔτε γὰρ παρὰ ϑατέρου δεῖ τόν γε ἀληϑῆ κριτὴν κρίνειν μανϑάνοντα, καὶ ἐκπληττόμενον ὑπὸ ϑορύβου τῶν πολλῶν καὶ τῆς αὐτοῦ ἀπαιδευσίας, III, p. 701, a ὅϑεν δὴ τὰ ϑέατρα ἐξ ἀφώνων φωνήεντα ἐγένοντο, ὡς ἐπαΐοντα ἐν Μούσαις τό τε καλὸν καὶ μή· καὶ ἀντὶ ἀριστοκρατίας ἐν αὐτῇ ϑεατροκρατία τις πονηρὰ γέγονεν, im Axioch. p. 568 τίς γὰρ ἂν εὐδαιμονήσειε πρὸς ὄχλον ζῶν, εἰ ποππυσϑείη καὶ κροτηϑείη, δήμου παίγνιον ἐκβαλλόμενον, συριττόμενον, ζημιούμενον (vergl. Pollux IV, 88 unter no. 166), Demosth. de cor. p. 315 Reisk. ἐξέπιπτες, ἐγὼ δ᾽ ἐσύριττον, de fals. leg. p. 449 εἰ — ἐξεβάλλετε αὐτὸν καὶ ἐξεσυρίττετε ἐκ τῶν ϑεάτρων καὶ μονονοὺ κατελεύετε, Aisop. Fab. 96 κιϑαρῳδὸς — ἔγνω δεῖν καὶ ϑεάτρῳ ἑαυτὸν ἐπιδοῦναι· ἀφικόμενος δ᾽ ἐπιδείξασϑαι καὶ κακῶς ᾄδων πάνυ, λίϑοις αὐτὸν ἐξώσαντες ἀπήλασαν, Athenai. IX, p. 406, f, Casaub. zu Athen. VI, 11, p. 431), Theophrast. Charakt. c. 11 καὶ ἐν ϑεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται, καὶ συρίττειν οὓς

ἡδέως θεωροῦσιν οἱ λοιποὶ, καὶ ὅταν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι, Plutarch. de adulat. et amic. c. 22 ἀλλ' ὥσπερ οἱ τραγῳδοὶ χοροῦ δέονται φίλων συνᾳδόντων ἢ θεάτρου συνεπικροτοῦντος, Lukian. Harmonid. p. 854 καὶ γὰρ οὖν ἐν τοῖς ἀγῶσιν οἱ μὲν πολλοὶ θεαταὶ ἴσασι κροτῆσαί ποτε καὶ συρίσαι, pro merced. conduct. c. 5, p. 713 ἔξω δὲ Πῶλος ἢ Ἀριστόδημος, ἀποθέμενοι τὰ προσωπεῖα, γίγνονται ὑπόμισθοι τραγῳδοῦντες, ἐκπίπτοντες καὶ συριττόμενοι, ἐνίοτε δὲ μαστιγούμενοί τινες αὐτῶν, ὡς ἂν τῷ θεάτρῳ δοκῇ, piscat. c. 33, p. 602 ἐπεὶ καὶ οἱ ἀθλοθέται μαστιγοῦν εἰώθασιν, ἤν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶνα ἢ τὸν Δία ὑποδεδυκὼς μὴ καλῶς ὑποκρίνοιτο, μηδὲ κατ' ἀξίαν τῶν θεῶν, καὶ οὐδέν που ὀργίζονται αὐτοῖς ἐκεῖνοι, ὅτι τὸν περικείμενον αὐτῶν τὰ προσωπεῖα, καὶ τὸ σχῆμα ἐνδεδυκότα, ἐπέτρεψαν παίειν τοῖς μαστιγοφόροις, ἀλλὰ καὶ ἥδοιντ' ἂν, οἶμαι, μᾶλλον μαστιγουμένων· οἰκέτην μὲν γὰρ ἢ ἄγγελον μὴ δεξιῶς ὑποκρίνασθαι, μικρὸν τὸ πταῖσμα, τὸν Δία δὲ ἢ τὸν Ἡρακλέα μὴ κατ' ἀξίαν ἐπιδείξασθαι τοῖς θεαταῖς, ἀποτρόπαιον ὡς καὶ αἰσχρὸν, Nigrin. c. 8, p. 47 ἀλλ' ἐκεῖνο ἤδη τραγικοῖς, ἢ καὶ νὴ Δία κωμικοὺς φαύλους ἑώρακας ὑποκριτὰς, τῶν συριττομένων λέγω τούτων, καὶ διαφθειρόντων τὰ ποιήματα καὶ τὸ τελευταῖον ἐκβαλλομένων, καίτοι τῶν δραμάτων πολλάκις εὖ ἐχόντων τε καὶ νενικηκότων; Toxaris c. 9, p. 516 ὁπόταν ὑμῖν οἱ τραγῳδοὶ τὰς τοιαύτας φιλίας ἐπὶ τὴν σκηνὴν ἀναβιβάσαντες δεικνύωσιν, ἐπαινεῖτε καὶ ἐπικροτεῖτε καὶ κινδυνεύουσιν αὐτοῖς ὑπὲρ ἀλλήλων οἱ πολλοὶ καὶ ἐπιδακρύετε, Philon Jud. quod omnis prob. lib. p. 886 Francof. πρώην ὑποκριτῶν τῶν τραγῳδίαν ἐπιδεικνυμένων, καὶ τὰ παρ' Εὐριπίδῃ τρίμετρα διεξιόντων ἐκεῖνα·

τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,
κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομίζεται,

τοὺς οὖν θεατὰς ἅπαντας εἶδον ἐπ' ἄκρων ποδῶν ὑπ' ἐκπλήξεως ἀναστάντας, καὶ φωναῖς μείζοσι καὶ ἐκβοήσεσιν ἐπαλλήλοις ἔπαινον μὲν τῆς γνώμης, ἔπαινον δὲ καὶ τοῦ ποιητοῦ συνείροντας, Pollux II,

197 πτερνοκοπεῖν, ὅπερ ἐστὶ τὸ ταῖς πτέρναις κτυπεῖν πρὸς τὰ ἑδώλια ἐν τοῖς θεάτροις, ὁπότε τινὰ θορυβοῖεν, IV, 122 τὸ μέντοι τὰ ἑδώλια ταῖς πτέρναις κατακρούειν πτερνοκοπεῖν ἔλεγον· ἐποίουν δὲ τοῦτο, ὁπότε τινὰ ἐκβάλλοιεν· ἐφ' οὗ καὶ τὸ κλώζειν καὶ συρίττειν, Alkiphron ep. III, 71 σὺ δὲ ἡμῖν μετὰ τῶν συνήθων ἐπίσειε τοὺς κρότους, ἵνα κἄν τι λάθωμεν ἀποσφαλέντες, μὴ λάβῃ χώραν τὰ ἀστικὰ μειράκια κλώζειν ἢ συρίττειν, ἀλλ' ὁ τῶν ἐπαίνων κρότος τὸν θροῦν τῶν σκωμμάτων παραλύσῃ, das. II, 4, p. 248 (unter no. 198), Senec. ep. 115 *quum hi novissimi versus in tragoedia Euripidis pronuntiati essent, totus populus ad eiiciendum et actorem et carmen consurrexit uno impetu, donec Euripides in medium ipse prosiluit, petens, ut exspectarent viderentque quem admirator auri exitum faceret. dabat in illa fabula poenas Bellerophontes, quas in sua quisque dat*, u. a. m. Selbst andern als Schauspielern widerfuhr Aehnliches bisweilen, z. B. dem Meidias, vergl. Demosth. geg. Meid. c. 62, p. 586 ὑμῶν οἱ θεώμενοι τοῖς Διονυσίοις εἰσιόντα εἰς τὸ θέατρον τοῦτον ἐσυρίττετε καὶ ἐκλώζετε, wozu Harpokration unter ἐκλώζετε bemerkt: κλωσμὸν ἔλεγον τὸν γιγνόμενον ἐν τοῖς στόμασι ψόφον, ᾧ πρὸς τὰς ἐκβολὰς ἐχρῶντο τῶν ἀκροαμάτων, ὧν οὐχ ἡδέως ἠκροῶντο. Auch mögen die Schauspieler mit Blumen und Kleidungsstücken als Zeichen des Beifalls beworfen worden seyn, daher die φυλλοβολία, s. Suidas unter περιαγειρόμενοι, ἀκρόδρυα und πέτασος (oben unter no. 71), Wesseling zu Diodor. Sik. XVII, 101, Ruhnken zum Timaios p. 246, Böckh zu Pindar. Pyth. 9, 130. — Besonders wurden Fehler der Aussprache von den Zuschauern gerügt, vergl. Dionys. Halikarn. de compos. verbb. c. 11, p. 121 ff. Schäfer ἤδη δ' ἔγωγε καὶ ἐν τοῖς πολυανθρωποτάτοις θεάτροις, ἃ συμπληροῖ παντοδαπὸς καὶ ἄμουσος ὄχλος, ἔδοξα καταμαθεῖν, ὡς φυσική τις ἐστὶν ἁπάντων ἡμῶν οἰκειότης πρὸς εὐμέλειάν τε καὶ εὐρυθμίαν, κιθαριστήν τε ἀγαθὸν, σφόδρα εὐδοκιμοῦντα, ἰδὼν θορυβηθέντα ὑπὸ τοῦ πλήθους, ὅτι μίαν χορδὴν ἀσύμφωνον ἔκρουσε καὶ ἔφθειρε τὸ μέλος, καὶ αὐ-

ληττὴν, μετὰ τῆς ἄκρας ἕξεως χρώμενον τοῖς ὀργάνοις, καὶ αὐτὸ τοῦτο παθόντα, ὅτι ἀσύμφωνον ἐμπνεύσας, ἢ μὴ πιέσας τὸ στόμα, θρυλιγμὸν ἢ τὴν καλουμένην ἐκμέλειαν ηὔλησε. — τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ῥυθμῶν γινόμενον ἐθεασάμην, ἅμα πάντας ἀγανακτοῦντας καὶ δυσαρεστουμένους, ὅτε τις ἢ κροῦσιν, ἢ κίνησιν, ἢ φωνὴν, ἐν ἀσυμμέτροις ποιήσαιτο χρόνοις, καὶ τοὺς ῥυθμοὺς ἀφανίσειεν, Cic. de orat. III, 50 *quotus enim quisque est, qui teneat artem numerorum ac modorum? at in his si paulum modo offensum est, ut aut contractione brevius fieret, aut productione longius, theatra tota reclamant*, Paradox. 3, extr. *histrio si paulum se movit extra numerum, aut si versus pronuntiatus est syllaba una brevior aut longior, exsibilatur, exploditur*, Orat. c. 8 und 9, wo von der Feinheit der Attischen Ohren gehandelt wird, die es nicht gleichgültig mit anhörten, daſs Demosthenes Ἀσκλήπιον statt Ἀσκληπιὸν betonte, jenes für richtiger haltend, s. Plutarch. vitt. X oratt. im Demosthen. V, p. 158 Tauchn., und als er in der Rede de cor. p. 243 πότερον ὕμιν, ὦ ἄνδρες Ἀθηναῖοι, μίσθωτος Αἰσχίνης ἢ ξένος εἶναι Ἀλεξάνδρου δοκεῖ; ἀκούεις, ἃ λέγουσιν; absichtlich μίσθωτος statt μισθωτὸς sprach, damit der ungewohnte Accent die Zuhörer recht auf das Wort aufmerksam machen möchte, s. die Scholien zu d. St., worauf auch vielleicht Quinctil. V, 13 Rücksicht genommen hat, wenn er sagt: *ita vero adversus omnes et recepta, et non inhumana conquestio, si callide quid acuisse* (and. tacuisse), *breviasse, obscurasse, distulisse dicuntur.* Daher wurde der Schauspieler Hegelochos von vielen Komikern, dem Aristophanes, dem Platon, dem Strattis, dem Sannyrion, verhöhnt, weil er den Vers des Euripides Orest. 279 ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ so gesprochen hatte, daſs man γαλῆν ὁρῶ hörte, während er γαλή — ν' ὁρῶ hätte sprechen müssen, s. den Schol. daselbst und zu Aristoph. Frösch. 305, auch Suidas unter Ἡγέλοχος. Was die verlangte Wiederholung einer schönen Stelle betrifft, so mag dieſs weniger bei den Athenaiern, als bei den Römern der Fall gewesen seyn, welche letztere weniger Stücke auf einmal sahen, als jene, s. Donat. prolog. in

Terent. Adelph. *modulata est autem tibiis dextris, i. e. Lydiis, ob seriam gravitatem, qua fere in omnibus comoediis utitur hic poeta. saepe tamen mutatis per scenam modis cantica mutavit* (haec comoedia, d. i. ihre Recitative wurden oft mit andern Weisen wiederholt), *quod significat titulus scenae habens subiectas personis literas* M. M. C. (d. i. mutati modi cantici). *item diverbia ab histrionibus crebro pronuntiata sunt, quae significantur* D. et M. (d. i. diverbia mutata) *literis secundum personarum nomina praescriptis in eo loco, ubi incipit scena*, denselb. im prolog. in Eunuch. *diverbia* (gew. proverbia) *multa saepe pronuntiata, et cantica saepe mutatis modis exhibita sunt*, ebendas. und in der vita Terentii (unter no. 175), denselb. de comoed. et trag. (Gronov. thes. VIII, p. 1690) *neque enim omnia iisdem modis in uno cantico agebantur, sed saepe mutatis* (mit anders wiederholten), *ut significant qui tres numeros* (Stücke, Theile, d. i. Abkürzungen, einzelne Buchstaben, nämlich M. M. C.) *in comoediis ponunt, qui tres* (welche drei zusammen) *continent* (ausdrücken, bedeuten) *mutatos modos cantici*, Liv. VII, 2 *Livius post aliquot annos, qui ab saturis ausus est primus argumento fabulam serere* (*idem scilicet, id quod omnes tum erant, suorum carminum actor*) *dicitur, quum saepius revocatus vocem obtudisset, venia petita puerum ad canendum ante tibicinem quum statuisset, canticum egisse aliquando magis vigente motu, quia nihil vocis usus impediebat*, Valer. Max. II, 4, 4 (unter no. 156), Phaedr. V, 7, 31 f., Cic. ad Attic. II, 19, pro Arch. poet. c. 8 *quoties ego hunc Archiam vidi — quum literam scripsisset nullam, magnum numerum optimorum versuum de his ipsis rebus, quae tum agerentur, dicere ex tempore? quoties revocatum eandem rem dicere commutatis verbis atque sententiis?* Doch geschah es auch bei den Athenaiern, s. Cic. Tusc. quaest. IV, 29 *itaque non sine causa, quum Orestem fabulam doceret Euripides, primos tres versus revocasse dicitur Socrates* etc.

(168) Gell. XX, 4 *comoedos quispiam et tragoedos et tibicines dives adolescens, Tauri philosophi discipulus, liberos homines in deliciis atque in delecta-*

mentis habebat. id genus autem artifices Graece appellantur οἱ περὶ τὸν Διόνυσον τεχνῖται. *Eum adolescentem Taurus a sodalitatibus convictuque hominum scenicorum abducere volens, misit ei verba haec ex Aristotelis libro exscripta, qui* προβλήματα ἐγκύκλια (XXX, 10) *inscriptus est, iussitque, ut ea quotidie lectitaret:* διὰ τί οἱ Διονυσιακοὶ τεχνῖται ὡς ἐπὶ τὸ πολὺ πονηροί εἰσιν; ἢ ὅτι ἥκιστα λόγου καὶ φιλοσοφίας κοινωνοῦσι; διὰ τὸ περὶ τὰς ἀναγκαίας τέχνας αὐτῶν τὸ πολὺ μέρος τοῦ βίου εἶναι, καὶ ὅτι ἐν ἀκρασίαις τὸν πολὺν χρόνον εἰσὶν, ὁτὲ δὲ ἐν ἀπορίαις. ἀμφότερα δὲ φαυλότητος παρασκευαστικά.

(169) Corn. Nep. praef. 5 *magnis in laudibus tota fuit Graecia victorem Olympiae citari, in scenam vero prodire et populo esse spectaculo nemini in iisdem gentibus fuit turpitudini.*

(170) Aristodemos besonders und Neoptolemos, welche den Frieden zwischen dem Philippos und den Athenaiern unterhandelten, s. Demosth. de cor. p. 232 Reisk., de fals leg. p. 344, 371, 442 und die Hypothesis zu dieser Rede, de pace p. 58, Aischin. de fals. leg. p. 30 (200 ff. Reisk.) nebst der Hypothesis zu dieser Rede. Thessalos wurde als Gesandter nach Karien geschickt, s. Plutarch. im Alexand. c. 10, Archias an die Spitze einer Mannschaft gestellt, s. Plutarch. im Demosthen. c. 28. Hierdurch bekamen sie politischen Einfluſs, s. Aristot. rhetor. III, 1 (unter no. 165)

(171) Pausan. I, 37, 2 πρὶν δὲ ἢ διαβῆναι τὸν Κηφισσὸν Θεοδώρου μνῆμά ἐστι τραγῳδίαν ὑποκριναμένου τῶν καθ' αὐτὸν ἄριστα.

(172) s. hierüber unter no. 195.

(173) Aischylos machte sich besonders um die Einrichtung und Ausschmückung der Bühne, und um das Kostum verdient, vergl. die Biographie desselben: καὶ πολὺ τοὺς πρὸ αὐτοῦ ὑπερῆρε κατά τε τὴν ποίησιν καὶ τὴν διάθεσιν τῆς σκηνῆς, τήν τε λαμπρότητα τῆς χορηγίας καὶ τὴν σκευὴν τῶν ὑποκριτῶν, τήν τε τοῦ χοροῦ σεμνότητα, die bei Robort.

τὴν δὲ σκηνὴν ἐκόσμησε, καὶ τὴν ὄψιν τῶν θεωμένων κατέψυξε (Oxford. κατέπληξε) τῇ λαμπρότητι, γραφαῖς, καὶ μηχαναῖς, βωμῷ (Oxf. βωμοῖς) τε καὶ τάφοις, σάλπιγξι, εἰδώλοις, Ἐριννύσι, Dioskorid. epigr. 17 (Anthol.) τὰ κατὰ σκηνὴν μετεκαίνισεν, Vitruv. praef. ad lib. VII, 11 *namque primum Agatharchus Athenis, Aeschylo docente tragoediam, scenam fecit, et de ea commentarium reliquit. Ex eo moniti Democritus et Anaxagoras de eadem re scripserunt, quemadmodum oporteat ad aciem oculorum radiorumque extensionem, certo loco centro constituto, ad lineas ratione naturali respondere, uti de incerta re certae imagines aedificiorum in scenarum picturis redderent speciem, et quae in directis planisque frontibus sint figurata, alia abscedentia alia prominentia esse videantur* (über die Ausschmückung der Bühne bei den Römern s. Val. Max. II, 4, 6, Plin. h. n. XXXVI, 15). Wenn daher Aristot. poet. c. 4 (s. unter no. 157) sagt σκηνογραφίαν (παρεσκεύασε) Σοφοκλῆς, so ist dieſs von einer noch gröſseren Vervollkommnung zu verstehen. Athenai. I, p. 21 Αἰσχύλος — ἐξεῦρε τὴν τῆς στολῆς εὐπρέπειαν καὶ σεμνότητα, ἣν ζηλώσαντες οἱ ἱεροφάνται καὶ δᾳδοῦχοι ἀμφιέννυνται. Namentlich suchte er die Gestalten der Schauspieler durch hohe Kothornen und andere Mittel zu erhabenen Heroen- und Göttergestalten zu erheben, und gab ihnen Masken, vergl. die Biographie bei Robort. τοὺς ὑποκριτὰς — τῷ σώματι ἐξογκώσας, μείζοσί τε τοῖς κοθόρνοις μετεωρίσας. — ταύτῃ καὶ ἄριστα εἰς τραγῳδίαν Αἰσχύλος κρίνεται, ὅτι εἰσάγει πρόσωπα μεγάλα καὶ ἀξιόχρεα, Themist. orat. XV, p. 358 Petav. (XXVI, p. 316 Hard.) ἀλλὰ καὶ ἡ σεμνὴ τραγῳδία μετὰ πάσης ὁμοῦ τῆς σκευῆς καὶ τοῦ χοροῦ καὶ τῶν ὑποκριτῶν παρελήλυθεν εἰς τὸ θέατρον, καὶ οὐ προσέχομεν Ἀριστοτέλει, ὅτι τὸ μὲν πρῶτον ὁ χορὸς εἰσιὼν ᾖδεν εἰς τὸν θεὸν, Θέσπις δὲ πρόλογόν τε καὶ ῥῆσιν ἐξεῦρεν, Αἰσχύλος δὲ τρίτον ὑποκριτὴν καὶ ὀκρίβαντας, τὰ δὲ πλείω τούτων Σοφοκλέους ἀπηλαύσαμεν καὶ Εὐριπίδου, Philostrat. vitt. Sophist. I, 9, 1, p. 492 Olear. εἰ γὰρ τὸν Αἰσχύλον ἐνθυμηθείημεν, ὡς πολλὰ τῇ τραγῳδίᾳ ξυνεβάλετο, ἐσθῆτί

τε αὐτὴν κατασκευάσας, καὶ ὀκρίβαντι ὑψηλῷ καὶ ἡρώων εἴδεσιν, ἀγγέλοις τε καὶ ἐξαγγέλοις, καὶ οἷς ἐπὶ σκηνῆς τε καὶ ὑπὸ σκηνῆς χρὴ πράττειν, vit. Apollon. VI, 11, p. 244 f. Olear. ἐνϑυμηϑεὶς δὲ (Αἰσχύλος) καὶ τὴν τέχνην ὡς προσφυᾶ τῷ μεγαλείῳ μᾶλλον ἢ τῷ καταβεβλημένῳ τε καὶ ὑπὸ πόδα σκευοποιίας μὲν ἥψατο εἰκασμένης τοῖς τῶν ἡρώων εἴδεσιν, ὀκρίβαντος δὲ τοὺς ὑποκριτὰς ἀνεβίβασεν, ὡς ἴσα ἐκείνης βαίνοιεν, ἐσϑήματί τε πρῶτος ἐκόσμησεν ἃ πρόσφορον ἥρωσί τε καὶ ἡρωΐσιν ἠσϑῆσϑαι, Suidas unter Αἰσχύλος: οὗτος πρῶτος εὗρε προσωπεῖα δεινὰ κεχρισμένα ἔχειν τοὺς τραγικοὺς, καὶ ταῖς ἀρβύλαις ταῖς καλουμέναις ἐμβάταις κεχρῆσϑαι, Horat. art. poet. 279 ff. *post hunc* (Thespida) *personae pallaeque repertor honestae Aeschylus et modicis instravit pulpita tignis, et docuit magnumque loqui nitique cothurno,* wozu Porphyr. bemerkt: *primus tragoediis cothurnos et personas et pallam dedit. horum enim trium auctor est.* Vor Aischylos färbte man sich die Gesichter mit Hefen und dergleichen, s. Suidas unter Θέσπις: καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυϑίῳ ἐτραγῴδησεν, εἶτα ἀνδράχνῃ ἐσκέπασεν ἐν τῷ ἐπιδείκνυσϑαι, καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τὴν τῶν προσωπείων χρῆσιν ἐν μόνῃ ὀϑόνῃ κατασκευάσας, Horat. art. poet. 277 f. *et plaustris vexisse poemata Thespis, quae canerent agerentque peruncti faecibus ora,* Euanth. de trag. et comoed. (Gronov. thes. VIII, p. 1683) *ora sua faecibus perlinebant scenici ante usum personarum ab Aeschylo repertum. faeces enim dicuntur graece* τρύγες, Tzetzes Chil. VI, 860 ff. ὁ προπηλακισμὸς, φασί τινες ἐκ τῶν ἀσκέπτων, εἴρηται ἐκ τοῦ χρίεσϑαι πηλῷ κωμῳδουμένους. Τζέτζης ἐξ οἴνου λέγει δὲ πᾶν τούτων εὑρεῖν κλῆσιν· πηλὸν τὸν οἶνον γάρ φασι καὶ κάπηλον ἐκ τούτου, das. 866 ff. φησὶ γοῦν προπηλακισμὸν τὴν κλῆσιν ἐσχηκέναι ἀπὸ τρυγὸς τῆς τοῦ πηλοῦ, ἤγουν αὐτοῦ τοῦ οἴνου, ᾗ κατ' ἀρχὰς οἱ κωμῳδοὶ τὰ πρόσωπα χρισϑέντες πολλοὺς κατεκωμῴδησαν ἐν μέσαις ταῖς Ἀϑήναις, Schol. zu Aristoph. Ritt. 519 ἐχρίοντο δὲ τῷ βατραχίῳ τὰ πρόσωπα πρὶν ἐπινοηϑῆναι τὰ προσωπεῖα, zu den Wolk. 296

τρυγοδαίμονας δὲ τούτους καλεῖ, διότι πάντες οἱ κωμῳδοὶ τρυγὶ ἀνηλείφοντο (das Weitere unter no. 44). Daher der Name τρυγῳδία, s. unter no. 12 und 47. Nach einigen war Choirilos der Erfinder der Masken, s. Suidas unter Χοιρίλος: κατά τινας τοῖς προσωπείοις καὶ τῇ σκευῇ τῶν στολῶν ἐπεχείρησε, und Phrynichos der der Weibermasken, s. Suidas unter Φρύνιχος: οὗτος δὲ πρῶτος ὁ Φρύνιχος γυναικεῖον πρόσωπον εἰσήγαγεν ἐν τῇ σκηνῇ. Der Erfinder der komischen Masken ist unbekannt, s. Aristotel. poet. c. 5 τίς δὲ πρόσωπα ἀπέδωκεν — ἠγνόηται. Es ist nämlich daselbst von der Komödie die Rede. Einige erfand der komische Schauspieler Maison, s. Athenai. XIV, p. 659 a und b. Ueber die Verschiedenheiten und Gestalten der tragischen, satyrischen und komischen Masken s. Pollux IV, 133 — 154. Aufser den bekannten Abhandlungen hierüber, welche sich in Fabricii bibliogr. antiq. p. 845 und in Eichstädt's Schrift: de dramate Graecor. satyr. p. 81, verzeichnet finden, ist auch Böttiger's prolus. de personis scenicis, vulgo larvis, Vimar. 1794 und dessen Furienmaske, Weim. 1801, Genelli's Theater zu Athen p. 96 ff. u. a. nachzusehen. Die Masken waren nothwendig 1.) weil die Gröfse der Theater (s. unter no. 75), zumal da sie ohne Dach waren (s. unter no. 78), wodurch die Stimme weniger zusammengehalten wurde, eine Verstärkung derselben nöthig machte, vergl. Gell. V, 7 *nam caput et os coperimento personae tectum undique, unaque tantum vocis emittendae via pervium, quoniam non vaga neque diffusa est, in unum tantummodo exitum collectam coarctamque vocem ciet, et magis claros canorosque sonitus facit. Quoniam igitur indumentum illud oris clarescere et resonare vocem facit, ob eam causam persona dicta est, o littera propter vocabuli formam productiore.* Daher bemühten sich die Schauspieler auch, ihre Stimme durch Uebung stark zu machen, s. Cic. de orat. I, 59. 2.) weil alle Weiberrollen von Männern gespielt wurden, s. Lukian. de saltat. c. 28, p. 285 καὶ γὰρ αὖ, ἅπερ ἐνεκάλεις τῇ ὀρχηστικῇ, τὸ ἄνδρας ὄντας μιμεῖσϑαι γυναῖκας, κοινὸν τοῦτο καὶ

τῆς τραγῳδίας καὶ τῆς κωμῳδίας ἔγκλημα ἂν εἴη· πλείους γοῦν ἐν αὐταῖς τῶν ἀνδρῶν αἱ γυναῖκες, u. a., daher Pollux IV, 114 *ὑποκριτὴς λεπτόφωνος καὶ γυναικόφωνος.* 3.) weil ein Schauspieler in demselben Stücke oft mehrere Rollen zu spielen hatte, s. unter no. 160. 4.) weil auf diese Weise jedes Alter von jedem Alter dargestellt werden konnte. 5.) um in der Komödie die nach dem Leben geschilderten Personen auch durch die Nachbildung ihrer Gesichtszüge kenntlich zu machen, s. die Biographie des Aristophanes p. XIII Küst. *διεχθρεύσας δὲ μάλιστα Κλέωνι τῷ δημαγωγῷ καὶ γράψας κατ' αὐτοῦ τοὺς Ἱππέας, ἐν οἷς διελέγχει αὐτοῦ τὰς κλοπὰς καὶ τὸ τυραννικὸν, οὐδενὸς δὲ τῶν σκευοποιῶν τολμήσαντος τὸ πρόσωπον αὐτοῦ σκευάσαι δι' ὑπερβολὴν φόβου, ἅτε δὴ τυραννικοῦ ὄντος, μηδὲ μὴν ὑποκρίνεσθαί τινος τολμῶντος, δι' ἑαυτοῦ Ἀριστοφάνης ὑπεκρίνατο, αὐτοῦ τὸ πρόσωπον μίλτῳ χρίσας*, die zweite Hypothesis zu des Aristoph. Rittern *ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης καθίησι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὐτοῦ, ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον*, Aristoph. Ritt. 230 ff. *καὶ μὴ δέδιθ'· οὐ γάρ ἐστιν ἐξῃκασμένος· ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν γνωσθήσεται· τὸ γὰρ θέατρον δεξιὸν*, die Schol. daselbst und Suidas unter *ἐξεικασμένος: πεπλασμένος πρὸς ὁμοιότητα· ἔθος γὰρ ἦν τοῖς κωμικοῖς ὅμοια τὰ προσωπεῖα ποιεῖν τοῖς κωμῳδουμένοις, ἵνα φανεροὶ ὦσιν ὑπ' αὐτῶν, καὶ περιτιθέναι τοῖς ὑποκριταῖς. Ἄλλως· οὐκ εἶχεν αὐτοῦ προσωπεῖον διὰ τὸ δεδοικέναι τοὺς σκευοποιοὺς καὶ μὴ θέλειν μήτε πλάττειν μήτε σχηματίζειν τὴν ὄψιν τοῦ Κλέωνος. λέγει οὖν ὅτι, μηδενὸς ὑποστάντος αὐτὸν ὑποκρίνεσθαι, αὐτὸς ὁ Ἀριστοφάνης μιλτώσας ἑαυτὸν ὑπεκρίνατο, ἢ τῇ τρυγίᾳ χρίσας ἑαυτὸν*, Platonios *περὶ διαφορᾶς κωμῳδιῶν* vor Küster's Aristophanes p. XI *οὐ μὴν οὐδὲ τὰ προσωπεῖα ὁμοιοτρόπως τοῖς ἐν τῇ παλαιᾷ κωμῳδίᾳ κατεσκευασμένοις εἰσῆγον· ἐν μὲν γὰρ τῇ παλαιᾷ εἴκαζον τὰ προσωπεῖα τοῖς κωμῳδουμένοις, ἵνα, πρίν τι καὶ τοὺς ὑποκριτὰς εἰπεῖν, ὁ κωμῳδούμενος ἐκ τῆς ὁμοιό-*

τητος τῆς ὄψεως κατάδηλος ᾖ, Pollux IV, 143 *τὰ μὲν κωμικὰ πρόσωπα, τὰ μὲν τῆς παλαιᾶς κωμῳδίας, ὡς ἐπιπολὺ τοῖς προσώποις, ὧν ἐκωμῴδουν, ἀπεικάζετο*, Ailian. var. hist. II, 13 *περιφερομένου τοίνυν ἐν τῇ σκηνῇ τοῦ Σωκράτους καὶ ὀνομαζομένου πολλάκις, οὐκ ἂν δὲ θαυμάσαιμι εἰ καὶ βλεπομένου ἐν τοῖς ὑποκριταῖς (δῆλα γὰρ δὴ ὅτι καὶ οἱ σκευοποιοὶ ἔπλασαν αὐτὸν, ὡς ὅτι κάλλιστα ἐξεικάσαντες), ἀλλ' οἵγε ξένοι, τὸν γὰρ κωμῳδούμενον ἠγνόουν, θροῦς παρ' αὐτῶν ἐπανίσταται, καὶ ἐζήτουν, ὅστις ποτὲ οὗτος ὁ Σωκράτης ἐστίν. ὅπερ οὖν ἐκεῖνος αἰσθόμενος (καὶ γάρ τοι καὶ παρῆν οὐκ ἄλλως, οὐδὲ ἐκ τύχης, εἰδὼς δὲ ὅτι κωμῳδοῦσιν αὐτὸν, καὶ δὴ καὶ ἐν καλῷ τοῦ θεάτρου ἐκάθητο), ἵνα οὖν λύσῃ τὴν τῶν ξένων ἀπορίαν, ἐξαναστὰς παρ' ὅλον τὸ δρᾶμα, ἀγωνιζομένων τῶν ὑποκριτῶν, ἑστὼς ἐβλέπετο.* Ueber den in diesen Angaben mehrmals erwähnten Maskenmacher (*σκευοποιός*) vergl. auch Aristot. poet. c. 6 extr. *ἔτι δὲ κυριωτέρα περὶ τὴν ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ σκευοποιοῦ τέχνη τῆς τῶν ποιητῶν ἐστι*, Pollux II, 47 *ἡ δὲ νέα κωμῳδία καὶ προσωποποιὸν εἴρηκεν, ὃν ἡ ἀρχαία σκευοποιὸν ἐκάλει*, IV, 115 *σκευοποιὸς δὲ ὁ προσωποποιός.* 6.) weil durch die Masken, welche gewöhnlich einen Aufsatz (*ὄγκος*) hatten, die Gestalten in der Tragödie erhöht wurden: Pollux IV, 133 *ὄγκος δέ ἐστι τὸ ὑπὲρ τὸ πρόσωπον ἀνέχον εἰς ὕψος λαβδοειδεῖ τῷ σχήματι* und in dem das. Folgenden. — Auch Sophokles änderte Manches, vergl. den Biograph desselben: *πολλὰ ἐκαινούργησεν ἐν τοῖς ἀγῶσι.* Von ihm wurde der Krummstab erfunden, s. ebendenselben: *τὴν καμπύλην βακτηρίαν αὐτὸς ἐπενόησε* (vergl. Plutarch. paedagog. c. 4 *τάς γε μὴν καμπύλας τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύνειν ἀμήχανον*, Sueton. in Neron. c. 24 *atque etiam in quodam tragico actu, quum elapsum baculum cito resumsisset, pavidus et metuens ne ob delictum certamine submoveretur, non aliter confirmatus est quam adiurante hypocrita, non animadversum id inter exsultationes succlamationesque populi)*, desgleichen die

weifse Fufsbedeckung, ebendas. *τὰς λευκὰς κρηπῖδας, — ἃς ὑποδέονται οἵ τε ὑποκριταὶ καὶ οἱ χορευταί.* Ueber die von ihm vervollkommnete *σκηνογραφία* (Aristot. poet. c. 4) s. oben. — Das tragische Kostum bestand für die Männer von Range aus einem bunten gewirkten Leibrock mit Aermeln, bei älteren Personen wahrscheinlich bis auf die Füfse (*χιτὼν ποδήρης*), bei jüngeren bis an die Kniee reichend. Als Ueberwurf diente ein grünfarbiger Talar oder langer bis auf die Füfse herabgehender Fürstenmantel, wofür nicht regierende hohe Personen einen kürzeren rothen, goldgestickten Mantel trugen, und als theilweise Bedeckung die Leibbinde (Gürtel). Wahrsager hatten über dem Leibrocke noch ein aus wollenen Fäden bestehendes netzartiges Gewand. Auch wurde über den Leibrock gezogen die Brustbedeckung (der Wams), welche mächtige und kriegerische Könige, wie Atreus, Agamemnon und dergleichen führten, und der Aufschlag auf dem Aermel, welchen die Streitenden und Jagenden zum Schutz der Hand um dieselbe legten. Dionysos erschien in einem purpurnen Leibrocke, der nachlassig an einem bunten Achselbande hing, wie oft bei Frauen, und über welchen ein dünnes durchsichtiges safranfarbenes Florkleid gezogen war, und mit dem Thyrsosstabe. Unglückliche, besonders Flüchtlinge, waren mit schmutzigweifsen, andere (Leidtragende) mit dunkelgrauen, schwarzen, dunkelgelben oder bläulichen Kleidern angethan, Philoktetes, Telephos u. a. mit abgerissenen Kleidern. Auch Hirschhäute, Löwenhäute, andere Felle, Schwerter, Scepter, Lanzen, Bogen, Köcher, Heroldsstäbe, Keulen, volle Rüstungen hatten die männlichen Personen der Tragödie. Die Kleidung einer Königin war ein purpurnes Schleppkleid und ein weifses Armtuch (Longshawl), in der Trauer aber ein schwarzes Schleppkleid und ein blauer oder dunkelgelber Umwurf. So Pollux IV, 115 ff., dessen Worte diese sind: *καὶ ἐσθῆτες μὲν τραγικαὶ ποικίλον· οὕτω γὰρ ἐκαλεῖτο ὁ χιτών· τὰ δὲ ἐπιβλήματα ξυστὶς, βατραχὶς* (vergl. Plutarch. im Alkib. c. 32 *Καλλιπίδην τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν, στατοὺς καὶ ξυστίδας καὶ τὸν ἄλλον ἐναγώνιον ἀμπεχόμενον κόσμον*, Athenai. XII,

p. 535, e *ὁ δὲ Σικελίας τύραννος Διονύσιος ξυστίδα καὶ χρυσοῦν στέφανον ἐπὶ περόνῃ μετελάμβανε τραγικὸν*, u. a. Es wird erklärt durch *ποδῆρες ἔνδυμα, τραγικὸν ἔνδυμα ἔχον ἐπιπόρπημα, ἔνδυμά τε ὁμοῦ καὶ περίβλημα καὶ χιτὼν* u. a., s. Photios p. 312, Timaios, Hesychios, Bekk. anecd. p. 284, Pollux VI, 10, VII, 49, X, 62, Schol. zu Platon, V, p. 401 f. Beck, zu Aristoph. Wolk. 70, die Ausleger das. u. a. Es ist fast mit *σύρμα* gleichbedeutend, wovon weiter unten), *χλανὶς, χλαμὺς διάχρυσος, χρυσόπαστος φοινικὶς* [*τιάρα, καλύπτρα* auch in MSS. fehlend und Glossen zum Folgenden], *παρακαλύπτρα* (als Beihülle, theilweise Bedeckung des *χιτὼν*) *μίτρα, ἀγρηνὸν* (vergl. Etym. Magn. p. 14, 3 und Hesych. unter d. W.), — *τὸ δ' ἦν πλέγμα ἐξ ἐρίων δικτυῶδες περὶ πᾶν τὸ σῶμα, ὃ Τειρεσίας ἐπεβάλλετο, ἤ τινι ἄλλῳ μαντικῷ, — κόλπωμα, — ὃ ὑπὲρ τὰ ποικίλα ἐνεδιδύοντο οἱ Ἀτρεῖς καὶ Ἀγαμέμνονες, καὶ ὅσοι τοιοῦτοι, — ἐφαπτὶς* (Aufschlag, eigentlich das Darangefügte, Franzen, Troddeln, Quasten, *κρόσσοι, θύσανοι, fimbriae, cirri* und dergl., vergl. Athenai. V, p. 196, e *χιτῶνες χρυσοϋφεῖς ἐφαπτίδες τε κάλλισται*, Strabon VII, p. 294 (451) *προμάντεις ἱέρειαι πολιότριχες, λευχείμονες, καρπασίνας ἐφαπτίδας ἐπιπεπορπημέναι*, Suidas unter *ἐφαπτίδας; ἔφαμμα* aber Polyb. II, 28 erklärt Suidas durch *περίβλημα*), *συστρεμμάτιόν τι φοινικοῦν ἢ πορφυροῦν, ὃ περὶ τὴν χεῖρα εἶχον οἱ πολεμοῦντες ἢ οἱ θηρῶντες. ὁ δὲ κροκωτὸς ἱμάτιον* (vergl. Aristoph. Frösch. 46 *ὁρῶν λεοντῆν ἐπὶ κροκωτῷ κειμένην*, und das. den Schol. und die Ausleger, auch Athenai V, p. 198 *ἄγαλμα Διονύσου — χιτῶνα πορφυροῦν ἔχον διάπεζον, καὶ ἐπ' αὐτοῦ κροκωτὸν διαφανῆ· περιεβέβλητο δὲ ἱμάτιον πορφυροῦν χρυσοποίκιλον*)· *Διόνυσος δὲ αὐτῷ ἐχρῆτο, καὶ μασχαλιστῆρι ἀνθεινῷ καὶ θύρσῳ. οἱ δὲ ἐν δυστυχίαις ὄντες ἢ λευκὰ δυσπινῆ εἶχον, μάλιστα οἱ φυγάδες, ἢ φαιὰ, ἢ μέλανα, ἢ μήλινα, ἢ γλαύκινα· ῥάκια δὲ Φιλοκτήτου ἡ στολὴ καὶ Τηλέφου. καὶ νεβρίδες δὲ, καὶ διφθέραι, καὶ μάχαιραι, καὶ σκῆπτρα, καὶ δόρατα, καὶ τόξα, καὶ φαρέτρα, καὶ κηρύκεια, καὶ ῥόπαλα,*

καὶ λεοντῆ, καὶ παντευχία μέρη τραγικῆς ἀνδρείας σκευῆς. γυναικείας δὲ, συρτὸς (was σύρμα, nur daſs dieses mehr Talar bedeutet und den Männern zuzukommen scheint, während unter συρτὸς wohl mehr ein weibliches Schleppkleid zu verstehen ist, s. Epiktet. c. 36 und Arrianos in Epictet. diss. I, c. 29 (weiter unten), Pollux VII, 67 σύρμα δέ ἐστι τραγικὸν φόρημα ἐπισυρόμενον, Senec. Oidip. 423, Hercul. fur. 475, Juvenal. VIII, 229, XV, 30, Martial. XII, 96, 4, IV, 49, 8, Valer. bei Priscian. p. 679 Putsch., Apulej. Apolog. p. 282, 4 Elmenh. u. a.) πορφυροῦς, παράπηχυ λευκὸν (ein Armtuch, Longshawl, von heller Farbe, vergl. Pollux VII, 52 τὸ δὲ παράπηχυ ἱμάτιον ἦν τι λευκὸν, πῆχυν πορφυροῦν ἔχον παρυφασμένον, Photios p. 388 und Hesychios: παράπηχυ ἱμάτιον τὸ παρ' ἑκάτερον μέρος ἔχον πορφύραν· τοῦτο δὲ καὶ παρυφὲς καλοῦσι. Dieses Tuch scheint bald auf dem linken Arme, so daſs die Enden dem Boden nahe waren, bald über beiden Armen, so daſs der mittlere Theil hinter dem Rücken wegging, getragen worden zu seyn) τῆς βασιλευούσης· τῆς δὲ ἐν συμφορᾷ ὁ μὲν συρτὸς μέλας, τὸ δὲ ἐπίβλημα γλαυκὸν ἢ μήλινον. Auſser anderem ist in le antichita di Ercolano esposte Tom. IV, tab. 41 auf der Theaterscene ein tragischer König mit Scepter, männlichem Leibrocke, Leibgurt und Kothornos, und an der weiblichen Figur daneben das Achselband deutlich zu erkennen. Ueber das tragische Kostum vergl. auch Lukian. Jup. trag. c. 41, p. 688 ἀνάγκη δυοῖν θάτερον ἤτοι Πῶλον καὶ Ἀριστόδημον καὶ Σάτυρον ἡγεῖσθαί σε θεοὺς εἶναι τότε, ἢ τὰ πρόσωπα τῶν θεῶν αὐτὰ καὶ τοὺς ἐμβάτας, καὶ τοὺς ποδήρεις (χιτῶνας), καὶ χλαμύδας, καὶ χειρῖδας (Handschuhe, als deren Erfinder Aischylos genannt wird, s. dessen Biographie bei Robort. τοὺς ὑποκριτὰς χειρὶ σκεπάσας, Chrysosthom. hom. VIII in Timoth. tom. VI, p. 457, d τὰς χειρίδας, καθάπερ οἱ τραγῳδοὶ, ἐνδιδύσκουσιν, ὥστε νομίζειν προσπεφυκέναι μᾶλλον αὐταῖς, wo gewöhnlich χεῖρας statt χειρῖδας steht. Ueber den Gebrauch der Handschuhe s. auch Pollux II, 151, VII, 62, Xenoph. Kyrop. VIII, 3, 13, VIII, 8, 17), καὶ

προγαστρίδια, καὶ σωμάτια (Ausstopfungen, vergl. Photios σωμάτια τὰ ἀναπλάσματα, οἷς οἱ ὑποκριταὶ διασάττουσιν αὐτοὺς, Pollux II, 235 σωμάτιον ἡ τῶν ὑποκριτῶν σκευὴ, IV, 115 καὶ σκευὴ μὲν ἡ τῶν ὑποκριτῶν στολή· ἡ δ' αὐτὴ καὶ σωμάτιον ἐκαλεῖτο), καὶ τἄλλ', οἷς ἐκεῖνοι σεμνύνουσι τὴν τραγῳδίαν, Lukian. de saltat. c. 27, p. 284 τὴν τραγῳδίαν δέ γε ἀπὸ τοῦ σχήματος πρώτου καταμάθωμεν, οἵα ἐστὶν, ὡς εἰδεχθὲς ἅμα καὶ φοβερὸν θέαμα εἰς μῆκος ἄρρυθμον ἠσκημένος ἄνθρωπος, ἐμβάταις ὑψηλοῖς ἐποχούμενος, πρόσωπον ὑπὲρ κεφαλῆς ἀνατεινόμενον ἐπικείμενος, καὶ στόμα κεχηνὸς πάμμεγα, ὡς καταπιόμενος τοὺς θεατάς· ἐῶ λέγειν προστερνίδια καὶ προγαστρίδια, προσθετὴν καὶ ἐπιτεχνητὴν παχύτητα προσποιούμενος, ὡς μὴ τοῦ μήκους ἡ ἀρρυθμία ἐν λεπτῷ μᾶλλον ἐλέγχοιτο, de gymnas. (Anachar.) c. 23 p. 904 ὑποδήματα μὲν βαρέα καὶ ὑψηλὰ ὑποδεδεμένοι, χρυσαῖς τε ταινίαις τὴν ἐσθῆτα πεποικιλμένοι, κράνη δὲ ἐπικείμενοι παγγέλοια, κεχηνότα παμμέγεθες, αὐτοὶ δὲ ἔνδοθεν μεγάλα τε ἐκεκράγεσαν, καὶ διέβαινον οὐκ οἶδ' ὅπως ἀσφαλῶς ἐν τοῖς ὑποδήμασι, somnium s. Gall. c. 26, p. 742 f. εἶτ' ἐπειδὰν πέσωσιν, ὅμοιοι μάλιστα φαίνονται τοῖς τραγικοῖς ὑποκριταῖς, ὧν πολλοὺς ἰδεῖν ἔστι τέως μὲν Κέκροπας δῆθεν ὄντας, ἢ Σισύφους, ἢ Τηλέφους, διαδήματα ἔχοντας καὶ ξίφη ἐλεφαντόκωπα, καὶ ἐπίσειστον κόμην, καὶ χλαμύδα χρυσόπαστον· ἢν δὲ, οἷα πολλὰ γίγνεται, κενεμβατήσας τις αὐτῶν ἐν μέσῃ τῇ σκηνῇ καταπέσῃ, γέλωτα δηλαδὴ παρέχει τοῖς θεαταῖς, τοῦ προσωπείου μὲν συντριβέντος αὐτῷ διαδήματι, ᾑμαγμένης δὲ τῆς ἀληθοῦς κεφαλῆς τοῦ ὑποκριτοῦ, καὶ τῶν σκελῶν ἐπιπολὺ γυμνουμένων, ὡς τῆς τε ἐσθῆτος τὰ ἔνδοθεν φαίνεσθαι ῥάκια δύστηνα ὄντα, καὶ τῶν κοθόρνων τὴν ὑπόδεσιν ἀμορφοτάτην καὶ οὐχὶ κατὰ λόγον τοῦ ποδὸς, Nigrin. c. 11, p. 50 μὴ καὶ κατ' ἄλλο τι γένωμαι τοῖς ὑποκριταῖς ἐκείνοις ὅμοιος, οἳ πολλάκις ἢ Ἀγαμέμνονος, ἢ Κρέοντος, ἢ καὶ Ἡρακλέους αὐτοῦ πρόσωπον ἀνειληφότες, χρυσίδας ἠμφιεσμένοι, καὶ δεινὸν βλέποντες, καὶ μέγα κεχηνότες, μικρὸν φθέγγονται καὶ ἰσχνὸν, καὶ γυ-

ναικῶδες, καὶ τῆς Ἑκάβης ἢ Πολυξένης πολὺ ταπεινότερον, — ἵνα μὴ συγκατασπάσω που πεσὼν τὸν ἥρωα ὃν ὑποκρίνομαι, Epiktet. c. 36 τραγικοὶ προσωπεῖα, ἐμβάδας καὶ τὸ σύρμα, ὡς καὶ γελωτοποιός· κοινὰ γὰρ ἔχουσιν ἄλλα ἀμφότεροι, Arrian. in Epict. diss. I, c. 29, p. 102 (158) ἔσται χρόνος τάχα, ἐν ᾧ οἱ τραγῳδοὶ οἰήσονται ἑαυτοὺς εἶναι προσωπεῖα καὶ ἐμβάδας καὶ τὸ σύρμα, Philostrat. vit. Apollon. V, 9, p. 195 Olear. παρελθὼν (ὁ τραγῳδίας ὑποκριτὴς) δὲ ἐς τὰ Ἴσπολα, φοβερὸς μὲν αὐτοῖς ἐφαίνετο, καὶ ὃν ἐσιώπα χρόνον ἐπὶ τῆς σκηνῆς· καὶ ὁρῶντες οἱ ἄνθρωποι βαδίζοντα μὲν αὐτὸν μέγα, κεχηνότα δὲ τοσοῦτον, ἐφεστῶτα δὲ ὀκρίβασιν οὕτως ὑψηλοῖς, τερατώδη δὲ τὰ περὶ αὐτὸν ἐσθήματα, οὐκ ἄφοβοι ἦσαν τοῦ σχήματος· ἐπεὶ δὲ ἐξάρας τὴν φωνὴν, καὶ γεγωνῶς ἐφθέγξατο, φυγῇ οἱ πλεῖστοι ᾤχοντο, ὥσπερ ὑπὸ δαίμονος ἐμβροντηθέντες, Athenai. V, p. 198, a μέσος δὲ τούτων ἐβάδιζεν ἀνὴρ μείζων τετράπηχυς ἐν τραγικῇ διαθέσει καὶ προσώπῳ, u. a., auch Genelli im Theater zu Athen p. 81 ff. Ueber den Kothornos oder die ὀκρίβαντες, oder die ἐμβάδες, auch ἐμβάται genannt, vergl. aufser den zuletzt und den im Anfange dieser Anmerkung angeführten Stellen noch Bekk. anecd. p. 746 ἐπιδεικνύμενοι (οἱ τραγικοὶ) δὲ τῶν ἡρώων ὡσανεὶ τὰ αὐτῶν πρόσωπα, πρῶτον μὲν ἐπελέγοντο ἄνδρας τοὺς μείζονα φωνὴν ἔχοντας, δεύτερον δὲ βουλόμενοι καὶ τὰ σώματα δεικνύειν ἡρωϊκὰ, ἐμβάδας ἐφόρουν καὶ ἱμάτια ποδήρη, Pollux IV, 115 καὶ τὰ ὑποδήματα κόθορνοι μὲν τὰ τραγικὰ καὶ ἐμβάδες, ἐμβάται δὲ τὰ κωμικὰ, Ammonios de different. vocabb. p. 49 ἐμβάδες καὶ ἔμβατα διαφέρει· ἐμβάδες μὲν γὰρ τὰ κωμικὰ ὑποδήματα, ἔμβατα δὲ τὰ τραγικὰ, Thomas Mag. ἐμβάδες τὰ κωμικὰ ὑποδήματα, ἐμβάδια δὲ τὰ ἁπλῶς ὑποδήματα. Ἀριστοφάνης ἐν Πλούτῳ (942)· τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; ἔμβατα δὲ καὶ ἐμβάται τὰ τραγικὰ, Ptol. Ascal. §. 42 ἐμβάδες μὲν κωμικὰ ὑποδήματα, ἐμβάται τραγικὰ, Ailian. Herodian. Philetair. p. 436 Pierson. ἐμβάδες ὑποδήματα τῶν κωμῳδῶν, καὶ θηλυκῶς αἱ ἐμβάδες, οἱ **ἐμβάται δὲ τραγῳδῶν, Pollux VII,** 85 ἐμβάδες εὐτελὲς μὲν ὑπόδημα, Θρᾴκιον δὲ τὸ εὕρημα, τὴν δὲ ἰδέαν κοθόρνοις ταπεινοῖς ἔοικε, 91 ἐμβάται δὲ ὄνομα τοῖς κωμικοῖς ὑποδήμασιν, Lukian. quomod. hist. sit conscr. c. 22, p. 31 ὥστε τὸ πρᾶγμα ἐοικὸς εἶναι τραγῳδῷ τὸν ἕτερον μὲν πόδα ἐπ' ἐμβάτου ὑψηλοῦ ἐπιβεβηκότι, θατέρῳ δὲ σάνδαλον ὑποδεδεμένῳ, Nekyoman. c. 16, p. 479 (unter no. 161) καταβὰς ἀπὸ τῶν ἐμβατῶν, mit dem Scholion p. 321 Lehm. ἐμβάται τραγικὰ (gew. κωμικὰ) ὑποδήματά τε καὶ τὰς κρηπῖδας ὑψηλὰς ἐξειργασμένα τοῦ πρὸς μεῖζον ὕψος τὸν χρώμενον ἄγειν, Schol. zu Lukian. II, p. 151 Gräv. ἐμβάτας μὲν τὰ ξύλα, ἃ βάλλουσιν ὑπὸ τοὺς πόδας οἱ τραγῳδοὶ, ἵνα φανῶσι μακρότεροι, Bekk. anecd. p. 249, 25, Etym. Magn. p. 333, 54, Hesych unter ἐμβάς: εἶδος ὑποδήματος· ἴσως παρὰ τὸ ἐμβαίνειν τοὺς πόδας κατωνόμασται, Herodot. VI, 125 κοθόρνους τοὺς εὕρισκε εὐρυτάτους ἐόντας ὑποδησάμενος — παρέσαξε παρὰ τὰς κνήμας τοῦ χρυσοῦ ὅσον ἐχώρεον οἱ κόθορνοι, Xenoph. Hellen. II, 3, 31 ὅθεν δήπου γὰρ καὶ κόθορνος ἐπικαλεῖται (Θηραμένης)· καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ, ἀποβλέπει δ' ἐπὶ ἀμφότερον, Schol. zu Aristoph. Frösch. 47 ὁ κόθορνος εἰς ἀμφοτέρους τοὺς πόδας ἁρμόζει, ἔνθεν καὶ Θηραμένης κόθορνος ἐλέγετο, ὅτι τοῖς καιροῖς καθομιλεῖν δύναται· οἱ δὲ, ὅτι ἀνδράσι καὶ γυναιξὶν ἁρμόττει. ὁ δὲ Ξενοφῶν ἐν Ἑλληνικοῖς ἀμφοτέροις τοῖς ποσὶν ἁρμόζειν αὐτόν φησιν, 546 ὁ κόθορνος ἀνδράσι καὶ γυναιξὶ πρὸς τὰς ὑποδύσεις ἁρμόττει, zu den Ekkes. 346 κόθορνος εἶδος ὑποδήματος ἁρμόζον ἀμφοτέροις ποσὶ, Zenob. III, 93, p. 75, Diogen. IV, 72, p. 214, Apostolios IX, 29, Suidas unter εὐμεταβολώτερος, Photios p. 35, 18 εὐμεταβολώτερος κοθόρνου· κόθορνος ὑπόδημα ἁρμόζον τῷ δεξιῷ τε καὶ εὐωνύμῳ ποδί· ὅθεν καὶ Θηραμένην, τὸν ἐπὶ τῶν τριάκοντα, κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι· ἐπὶ τῶν συστρεφομένων (oder μεταβαλλομένων oder μετατρεπομένων) οὖν συνεχῶς ἡ παροιμία κεῖται, Photios p. 176, 5 κόθορνος ὑπόδημα ἀρχαῖον κοινὸν ἀνδρῶν καὶ γυναικῶν· ταυτὸν ἀμφοτέροις τοῖς ποσὶν ἐφαρμόττον, Hesychios κόθορνος, ὑπόδημα ἀμφοτέ-

ροις τοῖς ποσὶ πεποιημένον· τινὲς δὲ καὶ ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττειν φασὶ τὸ ὑπόδημα τὸ κόθορνον, Suidas κόθορνος ὑπόδημα ἀμφοτεροδέξιον· — ὁ κόθορνος πρὸς τὰς ὑποδήσεις ἀνδράσι καὶ γυναιξὶν ἐφαρμόττει, Etym. Magn. p. 524, 40 κόθορνος γυναικεῖον ὑπόδημα τετράγωνον τὸ σχῆμα, ἁρμόζον ἀμφοτέροις τοῖς ποσὶ, Pollux VII, 90 f. ὁ δὲ κόθορνος ἑκάτερος ἀμφοῖν τοῖν ποδοῖν, ὅθεν καὶ τὸν Θηραμένην κόθορνον ἐκάλουν, διὰ τὸν περὶ τὴν πολιτείαν ἀμφοτερισμὸν, Triklinios zu Sophokl. Oid. Tyr. 1239 Erf. ἔστι δὲ καὶ ἀμφιδέξιον εἶδος ὑποδήματος, ὃ καλοῦσι κόθορνον, Isidor. origg. XIX, 34 *cothurni sunt, quibus calciabantur tragoedi, qui in theatro dicturi erant et alta intonantique voce carmina cantaturi. est enim calciamentum in modum crepidarum, quo heroes utebantur, sed tale est, ut in dextro et laevo conveniat pede*, Virgil. Aen. I, 361 *purpureoque alte suras vincire cothurno*, wozu Servius bemerkt: *cothurni iam calceamenta etiam venatoria, crura quoque vincientia, quorum quivis utrique aptus est pedi. ideo et numero usus est singulari*, Virg. eclog. VII, 32 *Puniceo stabis suras evincta cothurno*, Livius Andronicus bei Terentianus de metris p. 2425 f. Putsch. und Mar. Victorin. p. 2512 Putsch. *et iam purpureo suras include cothurno*, Nemesian. Cyneget. 90 *candida puniceis aptantur crura cothurnis*, Sidon. Apollin. carm. II, 400 ff. *perpetuo stat planta solo, sed fascia primos sistitur ad digitos: retinacula bina cothurnis mittit in adversum vincto de fomite* (erwärmender Aufschlag, Oberleder) *pollex, quae stringant crepidas, et concurrentibus ansis vinclorum pandas texant per crura catenas*, epp. VIII, 11 *soccos ferre cave, nec, ut solebat, laxo pes natet altus in cothurno*, Juven. VI, 504 *si breve parvi sortita est lateris spatium breviorque videtur virgine Pygmaea, nullis adiuta cothurnis*. Der Kothornos, wahrscheinlich von κέθειν (κεύθειν, wie κοθώ die Heimlichkeit, was gewöhnlich durch βλάβη erklärt wird, und κόθουρος schwanzverbergend, stutzschwänzig) und ὄρνος (ὄρειν, ὀρνύναι, ὄρος, ὄρνις, ὄρνεον), und heimlich erhebend, die unbemerkt gröſser machende Fuſsbedeckung bedeutend, war, wie es scheint, eine Art

Schnürstiefel (Pollux V, 18 ὑποδήματα κοῖλα, ἐς μέσην τὴν κνήμην ἀνήκοντα, δεσμῷ ἀκριβεῖ περιεσταλμένα, VII, 84 λέγοις δ᾽ ἂν καὶ ὑποδήματα κοῖλα, βάθεα, εἰς μέσην τὴν κνήμην ἀνήκοντα· τὰ δὲ οὐ κοῖλα, αὐτὸ μόνον ἀποχρῶν ἐστιν εἰπεῖν ὑποδήματα. περὶ δὲ ἃ τείνεται καὶ περιῤῥάπτεται τὰ κοῖλα ὑποδήματα, καλόποδες — κέκληνται) mit starker Sohle und einem hohen Absatze, vielleicht von Kork, Holz oder Leder unter der Ferse, der wegen des langen Chiton nicht gesehen, und nur beim Fallen der Schauspieler zuweilen sichtbar wurde, s. Lukian. somn. c. 26 (oben). Da er nicht, wie die Sandalen, blos für einen Fuſs eingerichtet war, sondern für beide, so bekam der vordere beim Gehen sichtbare Theil eine viereckige Gestalt, wie unsere vorn abgestumpften, für beide Füſse eingerichteten Stiefeln oder Schuhe, (s. Etym. Magn. p. 524 oben). Als Jagdstiefel war er wahrscheinlich mit niederen Absätzen versehen (vergl. über die ἐνδρομὶς Spanheim zu Kallimach. Hymn. auf Artemis 16), und eben so bei jüngeren Personen, die den kürzeren männlichen Chiton trugen, und einer weniger hohen Gestalt bedurften als die königliche Personen vorstellenden Schauspieler. Die Sclavenrollen Spielenden trugen wahrscheinlich keine Kothornen, sondern eine niedrige Fuſsbedeckung, die von der des gewöhnlichen Lebens wohl nicht viel oder gar nicht abwich. Davon, daſs weder in der Tragödie, noch in der Komödie blose Sohlen üblich waren, sondern eine auch den obern Theil des Fuſses umschlieſsende Fuſsbedeckung, in letzterer eine Art Socken oder Schuhe, in welche man trat, schreibt sich auch der Name ἐμβάτης und ἐμβὰς her, zwischen welchen, wenn man auf die Etymologie und den Gebrauch sieht, wenigstens nicht zu allen Zeiten, der von den Grammatikern auf widersprechende Weise (s. oben) angegebene Unterschied stattgefunden zu haben scheint. Der Farbe nach waren die Kothornen gewöhnlich roth, seit Sophokles aber (s. dessen Biographie oben) weiſs, vielleicht blos für die Weiberrollen und einen Weiberchor. — Das satyrische Kostum war ein Hirschfell, ein Ziegenfell, ein Bockfell, auch bisweilen ein gewebtes (nachgebildetes) Pantherfell, und der Dionysische Thiermantel, und ein beblümtes

(buntes) Oberkleid, und ein rother Mantel; ein Flaus, ein rauhes (faseriges) Unterkleid, war die Tracht der Seilenen. S. Pollux IV, 118 *ἡ δὲ Σατυρικὴ ἐσθὴς νεβρὶς, αἰγῆ, ἣν καὶ ἰξαλῆν* (s. die Ausleger das. und Photios p. 108, 18 *ἰξαλῆ ἡ αἰγεία, ἐπεὶ ἴξαλοι οἱ αἶγες*) *ἐκαλοῦν, καὶ τραγῆ. καί που καὶ παρδαλῆ ὑφασμένη, καὶ τὸ θήραιον* (vergl. Pollux VII, 48 *θήραιον, ἱμάτιον ἢ ἀπὸ τῆς νήσου, ἢ τὸ ὡς θηρίον ἐνυφασμένον*, 77 *θήραιόν τι ποικίλον*, Athenai. X, p. 424, f *κατεδύοντο ἱμάτια τῶν θηραϊκῶν*, Hesychios *θήρεον* (*θήραιον*) *πέπλον, τὸ ποικίλον· οἱ Ἀττικοί. Δοκεῖ δὲ ἀπὸ Θήρας τῆς νήσου προσηγορεῦσθαι*, Photios p. 91, 9 *θήραιον, ποικίλον ἱμάτιον*, Hesych. *θηροειδεῖς ἐφαπτίδες, ποικίλως διηνθισμέναι*, ders. *ποικίλον, ἱμάτιον ζωγραφητὸν*, Phot. p. 435, 16 *ποικίλον· τὸ Διονυσιακὸν ἱμάτιον οὕτως ἔλεγον*, Pollux VII, 47 *τὸ δὲ ποικίλον Διονύσου χιτὼν Βακχικὸς*) *τὸ Διονυσιακὸν, καὶ χλανὶς ἀνθινὴ, καὶ φοινικοῦν ἱμάτιον· καὶ χορταῖος, χιτὼν δασὺς, ὃν οἱ Σειληνοὶ φοροῦσι* (Pollux VII, 60 *Μασσαλιωτῶν δὲ ὁ χορταῖος· — τὸν δὲ χορταῖον τοὺς προπόλας φορεῖν ὡς ἀγοραῖον Ἀριστοφάνης ἔφη*, Hesych. *χορταῖος, δασὺς χιτὼν, οἷος τῶν Σειληνῶν*, ders. *χορταιόβαμος, ὁ Σειληνὸς*, und *χορταιοβάμων· χορταῖον τὸ ἔνδυμα τοῦ Σειληνοῦ*, Kyrill. *χορταῖος, ὁ δασὺς χιτὼν, ᾧ χρῶνται οἱ παρθένοι*, Suidas *χορταῖος, ὁ δασὺς καὶ μαλλωτὸς χιτὼν*, Dionys. Halik. VII, p. 477 *σκευαὶ δὲ αὐτοῖς ἦσαν, τοῖς μὲν εἰς Σειληνοὺς εἰκασθεῖσι μαλλωτοὶ χιτῶνες, οὓς ἔνιοι χορταίους καλοῦσι, καὶ περιβόλαια ἐκ παντὸς ἄνθους*. Ailian. var. hist. III, 40 *ἐσθὴς δὲ ἦν τοῖς Σιληνοῖς ἀμφίμαλλοι χιτῶνες*). — Das komische Kostum war ein einärmeliger weifser Leibrock ohne hineingewirkte Verzierungen und ohne Naht an der linken Seite. Die Alten trugen ihn ungewalkt, die jüngern aber mit einem rothen Umschlage (Besatze, Saume) oder mit dunkelrothem Purpurstreife. Ranzen, Stab oder Knittel, und ein lederner Leibrock (vielleicht mit den Haaren nach innen zu gekehrt) war die Tracht der Landleute. Junge Stutzer trugen auch einen purpurnen Leibrock, die Parasiten gewöhnlich einen schwarzen oder grauen, nebst einem Kamme und einer Salbenbüchse,

die Hurenwirthe einen gefärbten Leibrock, einen bunten Mantel und einen geraden Stab. Ueber dem Leibrocke trugen die Sclaven noch ein weifses Mäntelchen, ein Koch aber einen ungewalkten Doppelmantel. Die alten Weiber hatten einen dunkelgelben oder himmelblauen, die Priesterinnen jedoch einen weifsen Mantel, die Jungfrauen einen weifsen oder von Batist, die Erbtöchter einen weifsen mit einer Franzenverbrämung, manche Frauen auch ein Armtuch und einen bis auf die Füfse reichenden, rings mit Purpur eingefafsten Leibrock. Die Kupplerinnen und die Mütter der Hetairen trugen eine kleine Purpurbinde um den Kopf. Vergl. Pollux IV, 118 ff. *κωμικὴ δὲ ἐσθὴς ἐξωμίς* (Etym. Magn. p. 349, 43 *ἐξωμὶς χιτὼν ἅμα τε καὶ ἱμάτιον· ἦν γὰρ ἑτερομάσχαλος, καὶ ἀναβολὴν εἶχεν, ἣν ἀνεδοῦντο κοσύμβην· διόπερ καὶ οἱ κωμικοὶ ἐπ' αὐτῆς ποτὲ μὲν ἔνδυθι, ποτὲ δὲ ἀναβάλλου φασίν. ἦν δὲ τῶν δούλων ὁ τοιοῦτος χιτὼν, ὁ δ' ἀμφιμάσχαλος τῶν ἐλευθέρων καὶ ἀστῶν, οὐκ ἐπισκεπάζων τοὺς βραχίονας· οἱ δὲ νεώτεροι καὶ θοιμάτιον ἐξωμίδα τὸ μικρὸν καὶ εὐτελὲς*, das. *ἐξωμὶς χιτὼν ὁμοῦ καὶ ἱμάτιον· τὴν ἑκατέρου γὰρ χρείαν παρείχετο, χιτῶνος μὲν, ὅτι ἐζώννυτο, ἱματίου δὲ, ὅτι ἀνεβάλλετο. τάχα δὲ, ὅτι ἀχειρίδωτον ὂν καὶ πρὸς τοῖς ὤμοις ἀνοίγματα ἔχον, ἀφ' ὧν καὶ χεῖρες ἐξεχαλῶντο, ὁπότε καὶ ἐζώννυτο, κατὰ τοῦτο ἐξωμὶς ἐκαλεῖτο. ἀνεβάλλετο δὲ, θατέρας χειρὸς ὑπουτελλομένης, καὶ κάτωθεν πρὸς τοὺς πόδας ὥας τῷ ὤμῳ ἐπανατιθείσης αὐτὸ, μηδὲν ζώνης δεόμενον*, Hesychios *ἐξωμὶς χιτὼν ὁμοῦ καὶ ἱμάτιον· τὴν γὰρ ἑκατέρου χρείαν παρεῖχεν, καὶ χιτῶνα μὲν διὰ τὸ ζώννυσθαι, ἱμάτιον δὲ ὅτι τὸ ἕτερον μέρος ἐβάλλετο· παρ' ὃ καὶ οἱ κωμικοὶ ὁτὲ μὲν ἔνδυθι, ὁτὲ δὲ περιβαλοῦ*, und *ἐξωμὶς χιτὼν δουλικὸς*, Schol. zu Aristoph. Wesp. 442 *ἐξωμίδες ἱμάτια δουλικὰ καὶ ἑτερομάσχαλα*, Suidas und Kyrillos *ἐξωμὶς Ἀττικῶν λεξείδιον· σημαίνει δὲ χιτῶνα ἐλευθέρων, οὐκ ἐπισκεπάζοντα τοὺς βραχίονας εὐτελῆ*, Pollux VII, 47 *ἡ δ' ἐξωμὶς καὶ περίβλημα ἦν καὶ χιτὼν ἑτερομάσχαλος*, Photios p. 25, 25 *ἑτερομάσχαλος χιτὼν δουλικὸς, ἣν ἐξωμίδα λέγουσιν*, Hesychios *ἑτερο-*

μάσχαλος χιτὼν δουλικὸς, ἐργατικὸς, ἀπὸ τοῦ τὴν ἑτέραν μασχάλην ἔχειν ἐῤῥαμμένην, Eustath. zu Hom. Il. Σ, p. 1226 *ἐξωμὶς χιτὼν ἅμα καὶ ἱμάτιον τὸ αὐτὸ*, Gell. VII, 12 *viri autem Romani primo quidem sine tunicis toga sola amicti fuerunt, postea substrictas et breves tunicas citra humerum desinentes habebant, quod genus Graeci dicunt ἐξωμίδας* u. a.) *ἔστι δὲ χιτὼν λευκὸς, ἄσημος, κατὰ τὴν ἀριστέραν πλευρὰν ῥαφὴν οὐκ ἔχων· ἄγναπτος δὲ γερόντων φόρημα, καμπύλη* (als Umschlag) *φοινικὶς ἢ μελαμπόρφυρόν τι, φόρημα νεωτέρων. πήρα, βακτηρία, διφθέρα ἐπὶ τῶν ἀγροίκων. καὶ πορφυρᾷ δὲ ἐσθῆτι ἐχρῶντο οἱ νεανίσκοι, οἱ δὲ παράσιτοι μελαίνῃ ἢ φαιᾷ, πλὴν ἐν Σικυωνίῳ* (einem Stücke des Menandros, s. Harpokration unter *ἀναίνεσθαι*) *λευκῇ, ὅτε μέλλει γαμεῖν ὁ παράσιτος. τῇ δὲ τῶν δούλων ἐξωμίδι καὶ ἱματίδιόν τι πρόσκειται λευκὸν, ὃ ἐγκόμβωμα λέγεται ἢ ἐπίῤῥημα* (Pollux VII, 67 *ἐπίῤῥημα δὲ κωμικὸν ταινιῶδες, τὸ μὲν πλάτος κατὰ σπιθαμὴν, τὸ δὲ μῆκος κατ᾽ ὀργυιὰν*, also dem Mäntelchen mancher unserer Kirchendiener ähnlich), *τῷ δὲ μαγείρῳ διπλῆ ἄγναπτος ἡ ἐσθής. ἡ δὲ γυναικῶν ἐσθὴς κωμικῶν, ἡ μὲν τῶν γραῶν μηλίνη, ἢ ἀερίνη, πλὴν ἱερειῶν· ταύταις δὲ λευκή. αἱ δὲ μαστροποὶ ἢ μητέρες ἑταιρῶν ταινίδιόν τι πορφυροῦν περὶ τὴν κεφαλὴν ἔχουσιν. ἡ δὲ τῶν νέων λευκὴ ἢ βυσσίνη, ἐπικλήρων δὲ λευκὴ κροσσωτή. πορνοβοσκοὶ δὲ χιτῶνι βαπτῷ καὶ ἀνθεινῷ περιβολαίῳ ἐνδέδυνται, καὶ ῥάβδον εὐθεῖαν φέρουσιν· ἄρεσκος καλεῖται ἥδε ἡ ῥάβδος. τοῖς δὲ παρασίτοις πρόσεστι καὶ στλεγγὶς καὶ λήκυθος, ὡς τοῖς ἀγροίκοις λαγωβόλον. ἐνίαις δὲ γυναιξὶ καὶ παράπηχυ* (s. oben) *καὶ συμμετρία, ὅπερ ἐστὶ χιτὼν ποδήρης, ἁλουργὴς κύκλῳ.* Donatus de comoed. et trag. (Gronov. thes. VIII, p. 1690) beschreibt das Kostum der Komödie so: *comicis senibus candidus vestitus inducitur, quod is antiquissimus fuisse memoratur, adolescentibus discolor attribuitur. servi comici amictu exiguo conteguntur paupertatis antiquae gratia vel quo expeditiores agant, parasiti cum intortis palliis veniunt. Laeto vestitus candidus, aerumnoso obsoletus, purpureus diviti, pauperi phoeniceus datur.*

militi chlamys purpurea, puellae habitus peregrinus inducitur, leno pallio varii coloris utitur, meretrici ob avaritiam luteum datur. Syrmata dicta sunt ab eo, quod trahuntur, quae res ab scenica luxuria instituta est. eadem in luctuosis personis incuriam sui per negligentiam significant. Abgebildet aus einer alten Handschrift der Vatican. Biblioth. (Plut. LI, no. 3868) findet sich das alte Kostum der alten römischen Komödie in der Ausgabe des Terentius: Pub. Terentii comoediae nunc primum Italicis versibus redditae cum personarum figuris aeri accurate incisis ex MS. cod. Biblioth. Vatic. Urbini 1736, fol.

(174) Für die Komödie waren fünf Richter gewöhnlich, vergl. den Schol. zu Aristoph. Vögel 445 *ἔκρινον οἱ (έ) κριταὶ τοὺς κωμικούς· οἱ δὲ λαμβάνοντες τὰς έ ψήφους εὐδαιμόνουν.* Photios p. 411 *πέντε κριταὶ οἱ τοῖς κωμῳδοῖς ἀποδεικνύμενοι*, Hesychios: *πέντε κριταί· τοσοῦτοι τοῖς κωμικοῖς ἔκρινον οὐ μόνον Ἀθήνησιν, ἀλλὰ καὶ ἐν Σικελίᾳ*, denselben: *ἐν πέντε κριτῶν, ἐν ἀλλοτρίᾳ ἐξουσίᾳ ἐστίν. πέντε δὲ κριταὶ τοὺς κωμικοὺς ἔκρινον*, Suidas: *ἐν πέντε κριτῶν γόνασι, παρ᾽ ὅσον τὸ παλαιὸν έ κριταὶ ἔκρινον τοὺς κωμικοὺς, ὥς φησιν Ἐπίχαρμος*, Zenobios III, 64 *ἐν πέντε κριτῶν γούνασι κεῖται, παροιμιῶδες, οἷον ἐν ἀλλοτρίᾳ ἐξουσίᾳ εἰσίν· εἴρηται δὲ ἡ παροιμία παρόσον πέντε κριταὶ τοὺς κωμικοὺς ἔκρινον, ὥς φησιν Ἐπίχαρμος. συγκεῖται οὖν παρὰ τὸ Ὁμηρικὸν θεῶν ἐν γούνασι κεῖται, ἐπειδὴ οἱ κριταὶ ἐν τοῖς γούνασιν εἶχον, ἃ νῦν εἰς γραμματεῖα γράφεται.* Die Tragödie hatte vielleicht zehn Richter, aus jeder Phyle einen, zumal da die Zahl der an einem Feste aufgeführten einzelnen Tragödien gröſser war als die der Komödien, s. unter no. 29. Dieſs scheint hervorzugehen aus Plutarch. Kimon c. 8 *ἔθεντο δ᾽ εἰς μνήμην αὐτοῦ* (des Kimon) *καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην· πρώτην γὰρ διδασκαλίαν τοῦ Σοφοκλέους ἔτι νέου καθέντος, Ἀψεφίων ὁ ἄρχων, φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος, ὡς δὲ Κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ θεῷ τὰς νενομισμένας σπονδὰς, οὐκ ἀφῆκεν* (ὁ ἄρχων) *αὐτοὺς*

